*Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος*
*οὐλομένην, ἣ μυρί’ Ἀχαιοῖς ἄλγε’ ἔθηκε,*
*πολλὰς δ’ ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν*
*ἡρώων, αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν*
*οἰωνοῖσί τε πᾶσι, Διὸς δ’ ἐτελείετο βουλή,*
*ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε*
*Ἀτρεΐδης τε ἄναξ ἀνδρῶν καὶ δῖος Ἀχιλλεύς.*
*τίς τ’ ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;*
*Λητοῦς καὶ Διὸς υἱός· ὁ γὰρ βασιλῆϊ χολωθεὶς*
*νοῦσον ἀνὰ στρατὸν ὄρσε κακήν, ὀλέκοντο δὲ λαοί,*
*οὕνεκα τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα*
*Ἀτρεΐδης· ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν*
*λυσόμενός τε θύγατρα φέρων τ’ ἀπερείσι’ ἄποινα,*
*στέμματ’ ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος*
*χρυσέωι ἀνὰ σκήπτρωι, καὶ λίσσετο πάντας Ἀχαιούς,*
*Ἀτρεΐδα δὲ μάλιστα δύω, κοσμήτορε λαῶν·*
*Ἀτρεΐδαι τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί,*
*ὑμῖν μὲν θεοὶ δοῖεν Ὀλύμπια δώματ’ ἔχοντες*
*ἐκπέρσαι Πριάμοιο πόλιν, εὖ δ’ οἴκαδ’ ἱκέσθαι·*
*παῖδα δ’ ἐμοὶ λύσαιτε φίλην, τὰ δ’ ἄποινα δέχεσθαι,*
*ἁζόμενοι Διὸς υἱὸν ἑκηβόλον Ἀπόλλωνα.*